Σκάλωπας.] μύας τινὰς οὓς φαμὲν ἀσπάλακας. Ικτίδας] εἶδος ζώου ὡς οἱ κάστορες. ἢ ἔνυδρον. ἔστι δὲ ἰχθυοφάγον. Κωπαΐδας.] λίμνη ἐν Βοιωτίᾳ Κωπαΐς, ἐν ᾗ ἐγχέλεις πλεῖσται. ἔστι δὲ καὶ πόλις ὁμώνυμος. Δός μοι προσειπεῖν] ὁ Δικαιόπολις ἀκούσας τὰ περὶ ἐγχέλεως, πρὸς τὸν Μεγαρέα λέγει ἀσμένως. ὅτι ὦ τερπνὸν καὶ καλὸν ἡμῖν τέμαχος κομίσας τὴν ἔγχελυν, δός μοι αὐτὴν προσειπεῖν. Πρέσβειραν.] ὁ στίχος ἀπὸ δράματος Αἰσχύλου ὅπλων κρίσεως οὕτως ἐπιγεγραμμένου. ἐν ᾧ ἐπικαλεῖται τὰς Νηρεΐδας τις ἐξελθούσας κρῖναι πρὸς τὴν Θέτιν λέγων. δέσποινα πεντήκοντα Νηρεΐδων χορόν. Κήπιχάριτα.] ἀντὶ τοῦ ἐπιχαρίτως ἐκβῆθι τῷ ξένῳ. Ω φιλτάτη] ὁ Δικαιόπολις εἰληφὼς τὴν ἔγχελυν, λέγει αὐτὴν ἀσμένως ὁρᾶν. Μορύχῳ.] ὁ Μόρυχος ἐπὶ ὀψοφαγίᾳ κωμῳδεῖται. ἦν δὲ καὶ τῶν ἡδέως βιούντων. τραγῳδίας δὲ ποιητὴς ἐστί. Τὴν ἐσχάραν μοι.] ἐσχάραν τὴν νῦν καλουμένην ἄρυλαν. ῥιπίδα δὲ, τὸν φυσητῆρα. Τὴν ἀεὶ ς ἐγχέλυν.] Αττικῶς ἔγχελυν, Βοιωτοὶ ἔγχελιν. σκέψασθε δὲ, ἀντὶ τοῦ θεάσασθε. προσέχετε.

Bisetus. ὦ τάν.] ὦ φίλοι, ὦ ἑταῖροι. οὐ γὰρ πρὸς ἕνα μόνον, ἀλλὰ πληθυντικῶς τὸ ὦ τὰν, ἐνταῦθα λαμβάνεται.

Προσείπατ' αὐτὴν ὦ τέκν', ἀνθρακας δ' ἐγὼ
Ὑμῖν παρέξω τῆσδε τῆς ξένης χάριν.
Ἀλλ' ἔσφερ' αὐτὴν, μηδὲ γὰρ θανὼν ποτὲ
Σοῦ χωρὶς εἴην ἐντετευτλανωμένης.
Βοι. Εμοὶ δὲ τιμὰ τᾶσδε πᾶ γενήσεται.
Δι. Αγορᾶς τέλος ταύτην γέ που δώσεις ἐμοί,
Ἀλλ' εἴ τι πωλεῖς τῶνδε τῶν ἄλλων λέγε.
Βοιω. Ιῶγα ταῦτα πάντα. Δικ. φέρε πόσου λέγεις;
Η φορτί' ἕτερ' ἐνθένδε κεῖσ' ἄξεις ἰών.
Βοιω. Ο,τι γ' ἐς Αθάναις, ἐν Βοιωτοῖσι δὲ μή.
Δικ. Αφύας ἄρ' ἄξεις πριάμενος Φαληρικὰς,
Η κέραμον. Βοι. ἀφύας ἢ κέραμον, ἀλλ' ἔντ' ἐκεῖ.
Ἀλλ' ὅτι παρ' ἁμῖν μὴ, τᾶδε δ' αὖ πολύ.
Δι. Εγ' ᾦδα, συκοφάντην ἔξαγε,
Ωσπερ κέραμον ἐνδησάμενος. Βοιω. νὴ τὼ Σιώ.
Λάβοιμι μέντ' ἂν κέρδος ἀγαγὼν, καὶ πολὺ
Απερ πίθακον, ἀλιτρείας πολλᾶς πλέων.
Δι. Καὶ μὴν ὁδὶ Νίκαρχος ἔρχεται φανῶν.
Βοι. Μικκός γα μᾶκος ἐστί. Δι. ἀλλ' ἅπαν κακόν.

*Alloquimini ipsam. ego prunas vobis porrigam,*
*Vel hospitalitatis causa: huc duc eam.*
*Nam ne quidem abs te esse velim, mortuus licet,*
*Vbi tu probe cum betis assata fueris.*
*BOE. Sed pretium pro anguilla vnde reddetur mihi?*
*DI. Hanc tu dabis nomine portorij mihi.*
*Sed an quid reliquarum venale est mercium?*
*BOE. Immo hæc omnia. DI. cedo, quanti singula æstimas?*
*Aut vin tu alias auferre hinc merces pro tuis?*
*BOE. Quidquid Athenis est, quod nō sit Bæotijs.*
*DI. Vin ergo apuas emere à nobis Phalericas,*
*Aut vrceum: BOE. vrceum, aut apuas: at sunt ibi*
*Etiam: quæ vero apud nos non sunt affatim,*
*Illorum magna hic copia est. DI. noui Hercules,*
*Age Sycophantam expecta, & velut vrceum*
*Constringe. BOE. per Iouem: quippe lucri plurimum*
*Hinc fecerim, si duxero pro simia,*
*Multis referta flagitijs & fraudibus.*
*DI. Quadruplator hic Nicarchus, commmode aduenit.*
*BOE. Paruæ staturæ hic est. DI. sed magnæ malitiæ.*

Σχόλια. Τῆς ξένης χάριν.] διὰ τὸ ἐπιξενίζεσθαι. παίζων δὲ ἔφη. Εντετευτλανωμένης] ἀντὶ τοῦ μετὰ τεύτλων ἑψηθείσης. μετὰ τεύτλων γὰρ ἤσθιον τὰς ἐγχέλεις. λέγονται γὰρ τεύτλοις συνεψόμεναι ἥδισται εἶναι. καὶ ἀλλαχοῦ φησὶ τὰς ἐν τεύτλοις λοχευομένας. Εμοὶ δὲ τιμά.] ἐμοὶ γὰρ τὸ τίμημα αὐτῆς τίς ἐστιν. Αγορᾶς τέλος.] ἔθος ἦν τὸ παλαιὸν, ὡς καὶ μέχρι τοῦ νῦν, τοὺς ἐν τῇ ἀγορᾷ πιπράσκοντας τέλος διδόναι τοῖς λογισταῖς. λέγει οὖν ὁ Δικαιόπολις, ὅτι τέλος λαμβάνω ταύτην ὑπὲρ ὧν ἐπώλησας. Ιῶγα] ἀντὶ τοῦ ἐγὼ ταῦτα πάντα. Κεῖσ' ἄξεις ἰών] γράφεται καὶ ἰὼ ἀντὶ τοῦ ἐγώ. καὶ δύο στίγμαι ἐν τῷ ἄξεις. εἶτα τὸ ἰώ. Ο,τι γ' ἐς Αθάναις] ταῦτα φησὶν ὠνήσομαι παρὰ τῶν Αθηναίων, ἃ τοῖς Βοιωτοῖς οὐκ εἰσίν. Αφύας ἢ κέραμον.] καὶ ἀφύαι καὶ κέραμοί εἰσιν ἐν τῇ Βοιωτίᾳ.

Biset. Εντ' ἐκεῖ] ἐντὶ, ἐστὶν, ἢ εἰσί. ταῦτα γὰρ ἄμφω τοῦτο Δωρικῶς σημαίνει.

Σχόλια. Συκοφάντην ἔξαγε.] διαβάλλει πάλιν τοὺς Αθηναίους ὡς πολλοὺς ἔχοντας συκοφάντας.

Biset. Νὴ τὼ Σιώ.] νὴ τὼ θεὼ, τὼ Διοσκούρω δηλονότι. οὕτω γὰρ οἱ Δωριεῖς, καὶ μάλιστα οἱ Λάκωνες.

Σχόλια. Λάβοιμι μέντ' ἂν κέρδος.] εἰληφὼς τὸν συκοφάντην πεπληρωμένον ἁμαρτίας, καὶ πωλήσας ἅτε πίθηκον, εὑρήσω πολὺ κέρδος. ταῦτα δὲ εἰρωνευόμενος λέγει. Απερ πίθακον.] ὥσπερ πίθηκον ἁμαρτίας καὶ ἀδικίας πεπληρωμένον. Νίκαρχος.] ὁ Νίκαρχος κωμῳδεῖται ὡς συκοφάντης. φανῶν δὲ, ἀντὶ τοῦ κατηγορήσων.

Biset. Μικκός γα μᾶκος] ἀντὶ τοῦ ἐστὶ μικρός γε ἐστὶ τὸ μῆκος. ἀπὸ δὲ τοῦ μᾶκος γίνεται τὸ μακρός.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ
### Σκηνὴ δευτέρα.
### ΝΙΚΑΡΧΟΣ, ΒΟΙΩΤΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ΧΟΡΟΣ.
Τρίμετροι.

## ACTVS IIII. SCENA secunda.
### Nicarchvs, Boeotvs, Dicaeopolis, Chorvs.
*Senarij.*

Bise-